A
Τουτὶ τὸ ῥῶ] ὁ Μνησίλοχος ἐν ταῖς ξυλίνοις ἀγάλμασιν, ἅπερ ἐδόκει διαχαράψας, ἀφαμαρτούσης ἐνιαχοῦ τῆς χειρὸς, ἀπειροκάλως, καὶ ἀτέχνως τὸ ρ στοιχεῖον χαρακτηρίσας ἔτυχεν. ὅπερ ἔπειτα σκεψάμενος οὕτως ἐπιφωνεῖ. οἴμοι τουτὶ τὸ ῥῶ. καὶ τὰ ἑξῆς. τούτων ὁ νοῦς ἐστὶν ἁπλούστερος εἶναι δοκεῖ. ἀλλ' ἴσως ἐν τῇ τοῦδε τοῦ γράμματος ἐκλογῇ τοσούτων ἄλλων παρὰ τοῦτο ὄντων, παίγνιον, ἢ σκῶμμά τι ὑπολανθάνει ὅπερ εἰκασμῷ καταλαμβάνειν οὐ ῥᾴδιον. Χώρει] νῦν ὁ Μνησίλοχος τὸν Παλαμήδην μιμούμενος, καὶ τὰ ξύλα ῥίπτων, ταῦτα ὥς τινας ἀγγελιαφόρους ὑφ' αὐτοῦ πεμπομένους οὕτω προσφωνεῖ. Ποίαν αὔλακα] τινὲς γράφουσιν, ὁποίαν αὔλακα. ὃ βέλτιον δοκεῖ. ὁ δὲ νοῦς οὗτος. ὁποίαν ποθ' ὁδοιπορείαν ἔχητε, ὁποίαν πορείαν ποιῆσθε, σπεύδετε, ἐπιπαρέρχεσθε, καὶ πάσας καθόδους ἐξετάζετε, ταύτῃ, κἀκείνῃ περισκεψάμενοι. ταχέως γὰρ ὑμᾶς δεῖ πορεύεσθαι. αὖλαξ δὲ, ἡ ἐπιμήκης τομὴ τῆς γῆς ἐξ ἀρότρου. νῦν δὲ μεταφορικῶς ληπτέον. κάθοδος, ἀγωγὴ, κύκλος, περίοδος. τινὲς δὲ διῃρημένως γράφουσι καθ' ὁδούς.
B

## Παράβασις στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν κθ'.

## Parabasis, vel progressus.

C
Bisetvs. Ὁ χορὸς ταύτῃ τῇ παραβάσει τῶν γυναικῶν προστατεῖ, καὶ τὰς τῶν ἀνδρῶν κατηγορείας, καὶ ἐγκλήματα διαλύειν, καὶ τὰς γυναῖκας πολὺ βελτίους ἀποδεῖξαι πειρᾶται. εἰσὶ δὲ στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ κθ'. ὧν ὁ τελευταῖος,

Φορμὸν πυρῶν τ' ἀνδρὸς κλέψασ' αὐθήμερον αὔτ' ἀποδέδωκεν. τί δ' ἡ παράβασις, καὶ πόσα παραβάσεων εἴδη, ἐν τοῖς πρὸ τούτων σχολίοις ἀρκούντως εἴρηται.

Χο. Ἡμεῖς τοίνυν ἡμᾶς αὐτὰς εὖ λέξομεν παραβᾶσαι.
Καίτοι πᾶς τις τὸ γυναικεῖον φῦλον κακὰ πόλλ' ἀγορεύει
Ὡς πᾶν ἐσμὲν κακὸν ἀνθρώποις. κἀξ ἡμῶν ἐστιν ἅπαντα.
D
Ἔριδες. νείκη. στάσις. ἀργαλέα λύπη. πόλεμος. φέρε δὴ νῦν
Εἰ κακόν ἐσμεν, τί γαμεῖθ' ἡμᾶς, εἴπερ ἀληθῶς κακόν ἐσμεν.
Κἀπαγορεύετε μήτ' ἐξελθεῖν, μήτ' ἐγκύψασαν ἁλῶναι.
Ἀλλ' οὑτωσὶ πολλῇ σπουδῇ τὸ κακὸν βούλεσθε φυλάττειν.
Κἂν ἐξέλθῃ τὸ γύναιόν ποι, κᾆθ' εὕρητ' αὐτὸ θύρασιν,
E
Μανίας μαίνεσθ' οὓς χρῆν σπένδειν καὶ χαίρειν, εἴπερ ἀληθῶς
Ἔνδοθεν εὕρετε φροῦδον τὸ κακὸν, καὶ μὴ καταλαμβάνετ' ἔνδον.
Κἂν καταδαρθῶμεν ἐν ἀλλοτρίων παίζουσαι καὶ κοπιῶσαι, (ρινοστῶν.
Πᾶς τις τὸ κακὸν τοῦτο ζητεῖ, περὶ τὰς κλίνας πε-

Cho. *Nos igitur vos ipsas commendabimus progressæ,*
*Et si vnusquisque muliebri generi mala multa dicit,*
*Quòd omne sumus malũ hominibus, & ex nobis sunt omnia:*
*Lites, cõtentiones, seditiones, difficilis molestia, bellum. age verò nunc,*
*Si malum sumus, quid ducitis uxores nos, si modò reuera malum sumus?*
*Et prohibetis ac præcipitis neque egredi, neque prospicientem è fenestra deprehendi.*
*Sed ita multo studio malum vultis custodire.*
*Et si egressa fuerit muliercula aliquò, & deinde inueneritis ipsam foris,*
*Insanias insanitis, quos oportet sacrificare & lætari. si modò reuera,*
*Ab interiori parte inuenistis euanidum malum, & non offenditis intus.*
*Et si dormierimus in alienarum mulierum ædibus ludentes, elaborantes ac fessæ,*
*Vnusquisque malum hoc quærit, circa lectos obambulans.*

F

Bovrdinvs. Ἡμεῖς τοίνυν.] ἀπολογεῖται δὴ ὁ χορὸς χαριέστατά τε πάντων καὶ ὀξύτατα ὑπὲρ γυναικῶν, ὡς οὐκ εἰσὶν πεφυκυῖαι εἰς πᾶν κακὸν, ὥσπερ λέγουσι πάντες οἱ ἄνδρες. Τὸ γυναικεῖον φῦλον.] ἔθνος. Ἀγορεύει.] κακηγορεῖ. Ἀργαλέα λύπη.] ἐπαχθὴς, χαλεπὴ, καὶ ἀλγηρά. Εἰ κακόν ἐσμεν.] ἐνταῦθα συλλογίζεται μετὰ πολλῆς φρονήσεως ὁ χορὸς, ὅτι οὐκ εἰσὶν κακαὶ αἱ γυναῖκες. λέγει γὰρ, εἰ ἡμεῖς αἱ γυναῖκές ἐσμεν κακαὶ, ὥς φασιν ἀνδρῶν πολλοὶ, θαυμαστὸν δὴ ἦν διὰ τί ὑμεῖς ὦ ἄνδρες γαμεῖθ' ἡμᾶς. καὶ γὰρ, ἄφρονός ἐστιν ἀνδρὸς περιπίπτειν ἑκούσιον τῷ κακῷ, ὅπερ φάσκει καὶ προγνῶναι καὶ προεπίστασθαι. Ἐγκύψασαν.] τουτέστιν ἀνακύψασαν ἐκ τῆς θυρίδος, καὶ τ' ὄμματα κεφαλήν τε προφέρουσαν λαμβάνεσθαι καὶ ἁλίσκεσθαι, τοῦ φυλάττειν ἡμᾶς, αἵπερ δὴ δόξαν ἔχειν οὐ δυνάμεθα τῆς κακίας.
G
Πολλῇ σπουδῇ.] μετὰ πολλῆς σπουδῆς. Μανίας μαίνεσθ' οὓς χρῆν σπένδειν.] ἔκφρονές ἐστε καὶ ἐκμαίνεσθε ὑπ' ὀργῆς καὶ ἐξίστασθε ἡμῶν αὐτῶν, οὓς ἔδει γε σπονδὰς σπένδεσθαι καὶ ἐπιχαρῆναι. Φροῦδον τὸ κακὸν] ἀπεῖναι, ἐκκενωθῆναι, καὶ μὴ παρεῖναι. Καταλαμβάνετε.] ἁλίσκετε καὶ ἐπιλαμβάνετε. νοῦς ὅδ' ἐστὶ, ὑμεῖς ὦ ἄνδρες ἀντὶ τοῦ χαίρειν ἐπὶ ἀπουσίᾳ ἡμῶν, ὥσπερ γε εἰκός ἐστιν, εἰ κακαὶ ἐγενόμεθα, ἐκφρονεῖτε καὶ καθ' ὑπερβολὴν μέχρι τε τῆς μανίας ἐξίστασθε, εἴπερ τις ἡμῶν ἢ ἄπεστι, ἢ μόνον ἀνακύπτει ἐξ αὐτῆς θυρίδος, καὶ διὰ τοῦτο, σημεῖον ἀρκοῦν δὴ παρέχετε τοῦ ἀγαθοῦ ἡμῶν οὐ τῆς κακίας. Καταδαρθῶμεν.] εὕδομεν ἐν ἀλλοτρίων γυναικῶν οἰκίαις. Κοπιῶσαι] ὑπὸ πόνου ἀλύσασαι ἀπειρηκυῖαί τε. Τὸ κακὸν τοῦτο] τὴν γυναῖκα δηλονότι ἔνδον γιγνομένην. Περινοστῶν.] περιπολῶν.

Bisetvs.